# TEZAUR LITURGIC

**1 MAI**

**HARALAMBOS BOUSIA**

# PARACLISUL
## SF.CUVIOŞI
# GHERVASIE
## ŞI
# GHEORGHE
## DE LA
# GOMATIU HALKIDIKI

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 01 ΜΑΪΟΥ
# ΓΕΡΒΑΣΙΟΣ & ΓΕΩΡΓΙΟΣ
# ΟΣΙΟΙ ΓΟΜΑΤΙΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Φιλαλληλίας εὐθαλέστατον ἔρνος, καὶ ἀγαπήσεως Χριστοῦ ἐκμαγεῖον, θαυματουργὲ Γεώργιε δικαίων κρηπίς, πάσης ἀπολύτρωσαι τῆς ἐχθροῦ ἐπηρείας, καὶ δεινῆς κολάσεως τοὺς ἀεί σε τιμῶντας, καὶ ἐκζητοῦντας πίστει ἀκλινεῖ, τὰς σὰς ἀόκνους πρεσβείας πρὸς Κύριον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Γοματίου Γεώργιε, πρέσβευε ὑπὲρ ἡμῶν. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Γεώργιε Ὅσιε τοῦ Χριστοῦ, ἀφάτῳ ἀγάπῃ, ὁ ἐκλάμψας καὶ οἰκτιρμοῖς, πρὸς πάντας τοὺς στένοντας μὴ παύσῃ, ὑπὲρ ἡμῶν τοῦ Σωτῆρος δεόμενος.

Ὀφθεὶς στυλοβάτης καὶ ἀρωγός, πενήτων καμνόντων, καὶ ἁπάντων τῶν ἐν δειναῖς, στερήσεσι βίου θλιβομένων, τρυφῆς ἡμᾶς τῆς ἀλήκτου ἀξίωσον.

Μισθὸν τῶν καμάτων σου εἰληφώς, ἐν χώρᾳ τῶν ζώντων, σὺν Ἀγγέλων χοροῖς οἰκεῖς, πρεσβεύων Γεώργιε ἀπαύστως, Χριστῷ πυρὸς κολασμοῦ ἀπαλλάξαι με.

*Θεοτοκίον.*

Ἀπέλασον σκότος τὸ ζοφερόν, νοός μου Παρθένε, ταῖς λαμπραῖς Σου μαρμαρυγαῖς, φωτί με αὐγάζουσα σοφίας, φιλαδελφίας καὶ γνώσεως κρείττονος.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῶν βασάνων ὁδεύσας καὶ συμφορῶν Ὅσιε, τρίβους Γοματίου ἀκέστωρ, καρτερικώτατα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, εὗρες Γεώργιε χάριν, ἀπελαύνειν θλίψεων, τάχος σκοτόμαιναν.

Ἱλασμὸν τῶν πταισμάτων ἁμαρτιῶν κάθαρσιν, καὶ παραπτωμάτων παντοίων, αἴτει συγχώρησιν, τοῖς σὲ τιμῶσι πιστῶς, παρὰ τοῦ πάντων Σωτῆρος, εὐποιΐας στέλεχος, Πάτερ Γεώργιε.

Ὁλοτρόπως ποθήσας νεολαμπὲς ἥλιε, τῆς φιλαλληλίας ἀρέσκειν, τῷ πανοικτίρμονι, Χριστῷ δοχεῖον κἀμέ, τῆς πρὸς Αὐτὸν καὶ τὸ πέλας, δεῖξον ἀγαπήσεως, καὶ βίου σώφρονος.

*Θεοτοκίον.*

Ὑπερύμνητε Κόρη τὴν τῶν παθῶν θύελλαν, τὴν περιδονοῦσαν ἀθλίως, τὸν καταφεύγοντα, ταῖς

ῥυπτικαῖς Σου εὐχαῖς, πρὸς τὸν Υἱόν Σου καὶ Κτίστην, κόπασον καὶ σῶσόν με, τάχος κραυγάζω Σοι.

Διάσωσον, τοὺς σὲ τιμῶντας ἐν ᾄσμασι μελιῤῥύτοις, ἐξ ἀνάγκης δυσχερειῶν δεινῶν περιστάσεων, καὶ βλάβης Γεώργιε θεοφόρε.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πενήτων τροφὸς πασχόντων ἀνακούφισις, ἐλέους κρουνὸς ἀείῤῥοος Γεώργιε, καὶ διώκτης θλίψεων, ἀνεδείχθης· ὅθεν προστρέχοντες, ταῖς σαῖς πρεσβείαις πάντες χαρμονῆς, οἱ σὲ τιμῶντες ἀπαύστως πληρούμεθα.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Γεωργήσας Γεώργιε, ἐν ἐσχάτοις χρόνοις, ἀγάπην ἔμπρακτον, πρὸς τὸ πέλας τὴν καρδίαν μου, συμπαθείας ποίησον γεώργιον.

Ἐν τοῖς θείοις λειψάνοις σου, οἱ τῶν εὐσεβούντων χοροὶ σεμνύνονται, οὓς διάσωζε Γεώργιε, ἐκ δυσχερειῶν καὶ περιστάσεων.

Ὡς ἀσκήσεως πάμφωτον, σέλας καὶ προνοίας φωστῆρα ἔγνωμεν, σὲ Γεώργιε οἱ σπεύδοντες, τῇ ἀκαταισχύντῳ μεσιτείᾳ σου.

*Θεοτοκίον.*

Ῥείθροις πάναγνε Δέσποινα, τῶν ἐντεύξεών Σου πρὸς τὸν παντάνακτα, τῶν παθῶν καμίνους σβέσον μου, ἀπαθείας δρόσον ἐπομβρίζουσα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Γνώσει θεϊκῇ, ἐλλαμπόμενος Γεώργιε, ὥσπερ φίλος γνησιώτατος Αὐτοῦ, διαδόσεις θείας νέμεις τοῖς τιμῶσί σε.

Ἴασιν ψυχῶν, καὶ σωμάτων ἀρυόμεθα, προσκυνοῦντές σου θαυμάτων ποταμέ, ἀνεξάντλητε τὰ λείψανα Γεώργιε.

Ἔπιδε ἡμῖν, οὐρανόθεν καὶ τὸ φρόνημα, τῆς σαρκός μου ἀποκοίμησον εὐχαῖς, ἀσιγήτοις σου Γεώργιε πρὸς Κύριον.

*Θεοτοκίον.*

Πλήρου συμπαθῶς, τὰς αἰτήσεις Μητροπάρθενε, τῶν ἑκάστοτε ὑμνούντων ἐν χορῷ, Σὲ τοῦ Κτίσαντος Μητέρα τὴν ὑπέρτιμον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ῥανίσι σου, τῶν ἱδρώτων Ὅσιε, καὶ δακρύων σου ἐκοίληνας πέτραν, τοῦ σοῦ σπηλαίου καὶ τὸ τοῦ Σωτῆρος, εἵλκυσας ἔλεος Πάτερ Γεώργιε, Ὃν ἐκδυσώπει καὶ ἡμῖν, δαψιλῶς τὸ Αὐτοῦ πέμψαι ἔλεος.

Ἐβάδισας, ἀκλινῶς Γεώργιε, τὴν πρὸς πέλας ἀγαπήσεως τρίβον, καὶ εὐποιΐας φαιδρύνας σὸν βίον, πρὸς ἀρετῆς ὕψος ἤρθης δυσπρόσιτον, πρὸς ὃ

ἀνάγαγε κἀμέ, τὸν τιμῶντα τοὺς θείους καμάτους σου.

Σκοτίαν μου, τῶν παθῶν διάλυσον, καὶ λαμπρὰν τῆς ἀπαθείας ἡμέρα, ἀνάτειλόν μοι φωσφόροις λιταῖς σου, πρὸς τὸν Σωτῆρα θεόφρον Γεώργιε, τοῦ Γοματίου φρυκτωρέ, ὡς φωτὸς τοὺ ἀκτίστου ἀνάπλεως.

*Θεοτοκίον.*

Βασκαίνων μοι, ὁ ἀλάστωρ Ἄνασσα, εἰς βυθὸν ὠθεῖ πικρᾶς ἀπωλείας, ἀλλ’ ἀνατείνων τὰς χεῖρας βοῶ Σοι· ἀνάγαγέ με καὶ σῶσον τὸν ᾄσμασι, ὑμνοῦντά Σε πανευλαβῶς, σωτηρίας ἐμῆς θεία πρόξενε.

Διάσωσον, τοὺς σὲ τιμῶντας ἐν ᾄσμασι μελιῤῥύτοις, ἐξ ἀνάγκης δυσχερειῶν δεινῶν περιστάσεων, καὶ βλάβης Γεώργιε θεοφόρε.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου.*

Ὡς ποταμὸν ἰαμάτων ἀείῤῥοον, καὶ θησαυρὸν θαυμασίων ἀσύλητον, Γεώργιε μάκαρ τιμῶμέν σε· τοῖς γὰρ λειψάνοις σου πάντοτε σπεύδοντες, κατ’ ἄμφω τὴν ῥῶσιν λαμβάνομεν.

Προκείμενον: *Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Στ.: *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τὸν Κυρίον πᾶσα ἡ γῆ.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κᾀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μέγαν ἀντιλήπτορα, τοῦ Γοματίου ἡ κώμη, καὶ προστάτην ἔχουσα, σπεύδει τῇ σῇ χάριτι, θεοφόρητε, πνεύματος ὄργανον, μάκαρ Γεώργιε, καὶ ἀγάπης σκεῦος πάντιμον· σὺ γὰρ παντάπασι, τὰ τῆς σωτηρίας γνωρίσματα, ῥάβδῳ τῶν σῶν ἐντεύξεων, πρὸς Χριστὸν παρέχεις ἀκαταπαύστως, καὶ ταχὺ ἐκρύῃ, τοὺς σπεύδοντας τῇ σῇ ἐπισκοπῇ, περικαλὲς σεμνολόγημα, πολιτείας κρείττονος.

*Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Ἔχει Γομάτιόν σε γέρας, ἀντιλήπτορα ταχὺ καὶ παραστάτην, ἐν δειναῖς συμφοραῖς· διό σοι καταφεύγει, ἑκάστοτε Γεώργιε, ἀνυμνοῦν σε γηθοσύνως.

Ὕψωσον χεῖράς σου δικαίας, πρὸς τὸν Ὕψιστον Γεώργιε τρισμάκαρ, καὶ μὴ παύσῃ Αὐτῷ, πρεσβεύειν ἀσιγήτως, ὑπὲρ τῶν εὐφημούντων σου, πολιτείαν τὴν ὁσίαν.

Ἔργοις ἀφάτου καλωσύνης, διαπρέψας εὐσεβῶν ἁπάντων ὤφθης, συμπαθείας κρατήρ, κρινῶν ἀγάπης πόμα, Γεώργιε τοῖς σπεύδουσι, τῇ θερμῇ σου μεσιτείᾳ.

*Θεοτοκίον.*

Ὕπερθεν ἴδε Θεοτόκε, τὴν ταπείνωσιν τοῦ δούλου Σου κραυγάζω, καὶ δακρύων κρουνούς, γνησίας μετανοίας, ὑπάνοιξόν μοι Δέσποινα, τῷ ψαλμοῖς Σε ἀνυμνοῦντι.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Πατῆσαι πάσας, τὰς μηχανὰς τοῦ βελίαρ, καταξίωσον Γεώργιε τοὺς πίστει, σοὶ προσερχομένους, πυξίον ἀκακίας.

Ἐν ἐγκρατείᾳ, ἀσκητικῶς βιοτεύσας, ἰατρεύειν νόσους ὤτων χάριν εὗρες, κλέος Γοματίου, Γεώργιε παμμάκαρ.

Ῥῶσιν παράσχου, ψυχῆς καὶ σώματος ἅμα, τοῖς προστρέχουσι τοῖς θείοις σου λειψάνοις, καὶ τὴν σὴν πρεσβείαν, πανευλαβῶς αἰτοῦσιν.

*Θεοτοκίον.*

Ἠγλαϊσμένε, τοῦ Παντοκράτορος θρόνε, ἐμπαθοῦς μου ἁμαρτίας κάθαρόν με, ἵνα Σὲ δοξάζω, τὴν κεχαριτωμένην.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μετόχους δεῖξον πάντας, τοῦ τροπαιοφόρου, λαμπρὲ συνώνυμε θεῖε Γεώργιε, μετὰ τὸ τέλος τῆς ἄνω, ἡμᾶς λαμπρότητος.

Ὡς ῥόδον Γοματίου, σὲ ὑμνολογοῦντες, νεοθαλὲς ταῖς σαῖς θείαις Γεώργιε, λιταῖς ἐν δίναις τοῦ βίου, ἀεὶ προσφεύγομεν.

Ναὲ φιλαλληλίας, εὐποιΐας κέρας, καὶ συμπαθείας λειμὼν εὐωδέστατε, διάλυσόν μου κακίας, ἀχλὺν κραυγάζω σοι.

*Θεοτοκίον.*

Χρηστότητος ταμεῖον, κεχαριτωμένη, τοῦ Βασιλέως παλάτιον ἔμψυχον, χρηστοηθείας με δεῖξον, δοχεῖον εὔχρηστον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν δικαίων ἡ καλλονή· χαίροις Γοματίου, ὦ Γεώργιε χαρμονή· χαίροις ὁ τοὺς πόνους, τῶν ᾤτων θεραπεύων, τῇ δαψιλῶς δοθείσῃ, σῇ θείᾳ χάριτι.

Χαίροις Γοματίου νεοθαλές, ἄνθος καὶ ἀγάπης, τοῦ πλησίον μυρεψικόν, ῥόδον τὸ ἐν χρόνοις, ἀνθῆσαν τοῖς ὑστέροις, Γεώργιε δικαίων, ἔμψυχον ἄγαλμα.

Τὸν ἐν πολιτείᾳ θεοφιλεῖ, ἄρτι ἐποφθέντα, ὡς ἀστέρα νεολαμπῆ, ἐν τῷ κόσμῳ πάντες, Γεώργιον τὸν νέον, ψαλμῶν τοῖς ἡδυπνόοις, ἄνθεσι στέψωμεν.

Ἐν ἐσχάτοις χρόνοις ὡς βοηθόν, ἔγνωμέν σε πάντες, ἐν κινδύνοις καὶ ἀρωγόν, ταχινὸν ἐν βίου, τοῖς κλύδωσι θεόφρον, Γεώργιε Ὁσίων, ἔμπνουν θησαύρισμα.

Κλήρου τὰ αἰτήματα συμπαθῶς, τῶν προσερχομένων, τοῖς λειψάνοις σου θαυμαστέ, Γοματίου Πάτερ, Γεώργιε τοὺς πόνους, ἰώμενος ἁπάντων, καὶ τὰ νοσήματα.

Χαίροις εὐσεβείας ὁ θησαυρός· χαίροις εὐποιΐας, ἔργων ἔρνος μυρεψικόν· χαίροις τὴν πτωχείαν, Χριστοῦ ὁ ἀγαπήσας, καὶ τοὺς πτωχοὺς πλουτίσας, μάκαρ Γεώργιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντων, σωτηρίαν ἀσθενῶν, ὀρφανῶν χηρῶν καὶ καμνόντων, τὸν ἀνεξάντλητον, τροφοδότην μέλψωμεν, ᾠδαῖς εὐσχημόσι, Γοματίου τὸν ἔφορον, Γεώργιον πίστει, πρὸς αὐτὸν κραυγάζοντες· φωτοειδέστατε, ῥῦσαι συμφορῶν κατωδύνων, μάστιγος κακώσεων νόσων, καὶ πειρατηρίων τοὺς ἱκέτας σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

